τερ πόσα τοιοῦτα διηγήσομαι. ἄξιον γὰρ μνήμης κρίνω τὸ τότε γενό-
μενον· ὅτι διὰ Μωϋσέως τοῖς Ἑβραίοις ὑπῆρξε τὴν Ἐρυθρὰν θά-
λασσαν διαβαίνουσι, τοιαῦτα καὶ τοῖς αὐτοῦ στρατηγοῖς ἦν ἰδεῖν καὶ αὐτ(ὴν)
ἐπὶ τὸν τύραννον ὃν ἔπεμψεν, ἅπερ διὰ βραχέων ἐκθήσομαι· τὸ μέ-
γεθος αὐτῶν ἰδίας πραγματείας δεόμενον ἑτέροις παρείς:

κγ Περὶ Ἰωάννου τοῦ τυραννήσαντος ἐν Ῥώμῃ μετὰ θάνατον Ὀνωρίου
βασιλέως· καὶ ὅπως ὁ θεὸς ταῖς εὐχαῖς Θεοδοσίου τοῦτον ταῖς
χερσὶ τοῦ ῥωμαϊκοῦ στρατοῦ παραδέδωκε:

Τελευτήσαντος δὴ τοῦ βασιλέως Ὀνωρίου, μαθὼν ὁ αὐτοκράτωρ Θεοδόσιος
κρύπτει μὲν τὸ γενόμενον· καὶ ἄλλοτε ἄλλως τοὺς πολλοὺς ἀποπλανᾷ·
ὑποπέμπει δὲ λαθραίως στρατιωτικὴν εἰς Σαλῶνα· πόλις δὲ αὕτη τῆς Δαλ-
ματίας· ἵν᾽ εἰ συμβαίη τι νεωτερισθῆναι περὶ τὰ ἑσπέρια μέρη, μὴ πό-
ρρω θέμενος εἴη τοὺς ἀμυνουμένους. καὶ τοῦτο οὕτως προευτρεπίσας, τότε κατα-
φανῆ τὸν θάνατον τοῦ θείου πεποίηκεν. ἐν τοσούτῳ δὲ Ἰωάννης πρῶτος
ὢν τῶν βασιλικῶν ὑπογραφέων, μὴ ἐνεγκὼν τὴν εὐτυχίαν, τὴν
βασιλείαν ἁρπάζει· καὶ πρεσβείας ἀποστέλλει πρὸς τὸν αὐτοκράτορα
Θεοδόσιον, δεχθῆναι εἰς βασιλέα δεόμενος. ὁ δὲ τοὺς μὲν πρεσβευτὰς
εἰς φρουρὰν κατέστησεν· ἐξαποστέλλει δὲ τὸν στρατηλάτην Ἀρδαβούριον,
ὃς ἐν τῷ περσικῷ πολέμῳ τὰ μέγιστα ἠγωνίσατο. οὗτος εἰς τὰς Σαλῶνας
παραγενόμενος, ἔπλει ἐξ αὐτῆς εἰς τὴν Ἀκυληΐαν· καὶ χρῆται τῇ τύχῃ,
καθὼς ἐνόμιζεν· ἀτυχεῖ δέ, ὡς ὕστερον ἐδείχθη. ἄνεμος γὰρ ἐναντίος
πνεύσας, εἰς τὰς χεῖρας αὐτὸν ἐμβάλλει τοῦ τυράννου. ὃς συλλαβὼν
αὐτὸν, ἤλπιζεν εἰς ἀνάγκην καταστήσειν τὸν αὐτοκράτορα, ψη-
φίσασθαι καὶ ἀναδεῖξαι αὐτὸν βασιλέα, εἰ σώζεσθαι τὸν στρατηλάτην
προῃρεῖτο. ἀληθῶς τε ἐν ἀγῶνι ἦν ὅ τε ἐν ἀγῶνι ἦν ὅ τε βασιλεὺς ταῦ-
τα πυθόμενος, καὶ ὁ ἐπὶ τὸν τύραννον ἀποσταλεὶς στρατιώτης, μή τι πάθοι
κακὸν ὑπὸ τοῦ τυράννου Ἀρδαβούριος. Ἄσπαρ δὲ ὁ τοῦ Ἀρδαβουρί-
ου υἱὸς, μαθὼν τὸν πατέρα παρὰ τοῦ τυράννου κατέχεσθαι, καὶ πολλὰς μυριάδας
βαρβάρων ἐπὶ συμμαχίᾳ τοῦ τυράννου παρεῖναι, οὐκ ἔσχεν ὅ τι
καὶ πράξειε. τότε δὴ καὶ τοῦ θεοφιλοῦς βασιλέως εὐχὴ πάλιν ἴ-
σχυεν. ἄγγελος γὰρ θεοῦ ἐν σχήματι ποιμένος ὁδηγεῖ τὸν Ἄσπαρα
καὶ τοὺς σὺν αὐτῷ· καὶ ἄγει διὰ τῆς παρακειμένης τῇ Ῥαβέννῃ λίμνης·
ἐν ταύτῃ γὰρ τῇ πόλει ὁ τύραννος διατρίβων εἶχε τὸν στρατηγόν· ὅθεν
οὐδεὶς οὐδέποτε διαβεβηκέναι ἱστόρηται. τότε δὴ ὁ θεὸς τὴν ἄβατον

http://digital.slub-dresden.de/ppn334880238/502